## † Τῇ ἁγίᾳ καὶ μεγάλῃ Δευτέρᾳ.




Ἀπὸ τῆς σήμερον ἄρχονται τὰ ἅγια πάθη τοῦ Σωτῆρος ἡμῶν· καὶ πρῶτον πάντων λαμβάνεται εἰς τύπον αὐτοῦ Ἰωσὴφ ὁ πάγκαλος. Ἦν δὲ οὗτος υἱὸς τοῦ Ἰακὼβ ἑνδέκατος· ὅστις φθονηθεὶς ὑπὸ τῶν ἰδίων ἀδελφῶν καὶ εἰς λάκκον βληθείς, εἶτα πωληθεὶς εἰς ἀλλοφύλους, καὶ ὑπ' ἐκείνων πάλιν εἰς Αἴγυπτον, καὶ διὰ τὴν σωφροσύνην αὐτοῦ συκοφαντηθεὶς καὶ εἰς φυλακὴν καταδικασθείς, καὶ τελευταῖον ἐξαχθεὶς ἐκεῖθεν μετὰ δόξης πολλῆς καὶ τιμηθεὶς ὡς βασιλεύς, καὶ γενόμενος κύριος πάσης γῆς Αἰγύπτου καὶ σιτοδότης παντὸς τοῦ λαοῦ, διὰ τούτων πάντων ἐτύπωσεν εἰς ἑαυτὸν τὰ πάθη καὶ τὴν μετὰ ταῦτα δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰς τὴν μνήμην ταύτην τοῦ Ἰωσὴφ ἐπισυνάπτεται καὶ ἡ ἱστορία τῆς ὑπὸ τοῦ Κυρίου, κατὰ τὴν σήμερον τὸ πρωΐ, ιθ΄ Μαρτίου, καταραθείσης καὶ ξηρανθείσης συκῆς διὰ τὴν ἑαυτῆς ἀκαρπίαν. Εἰκόνιζε δὲ αὕτη τῶν Ἰουδαίων τὴν συναγωγήν, ἥτις, μὴ ἔχουσα τὸν ἀπαιτούμενον καρπὸν τῆς ἀρετῆς καὶ εὐσεβείας, ἐγυμνώθη πάσης χάριτος πνευματικῆς διὰ τῆς κατάρας.

### Ἐν τῷ Ὄρθρῳ, εἰς τὸ Ἀλληλούϊα, ψάλλομεν τὸ παρὸν

### Τροπάριον. Ἦχος πλ. δ΄.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός· διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

### Κοντάκιον Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὁ Ἰακὼβ ὠδύρετο, τοῦ Ἰωσὴφ τὴν στέρησιν, καὶ ὁ γενναῖος ἐκάθητο ἅρματι, ὡς βασιλεὺς τιμώμενος· τῆς αἰγυπτίας γὰρ τότε ταῖς ἡδοναῖς μὴ δουλεύσας, ἀντεδοξάζετο παρὰ τοῦ βλέποντος τὰς τῶν ἀνθρώπων καρδίας, καὶ νέμοντος στέφος ἄφθαρτον.